ἁπλῶς εἰκόνα προσκυνοῦμεν, ἵνα μὴ κατὰ τοῦτο εἰδωλολάτραι λογισθείημεν· εἴδωλον γάρ ἐστιν, οὐχ' ὑφεστῶτος μίμημα, ἀλλ' ἐπίπλαστον ψεῦδος καὶ κατ' ἐπίνοιαν θεωρούμενον, οἷά εἰσι καὶ τὰ καθ' ὕπνον καὶ ὄναρ τῷ ἡμετέρῳ νῷ πολλάκις ὁπωσδήποτε ἐντυπούμενα, καὶ οἷα ἀναπλάττονται παρ' Ἕλλησιν οὐχ ὑφεστῶσαι μορφαί, || οἷον σφιγγίαι
243r καὶ τρίτωνες καὶ κένταυροι, καὶ παρ' Αἰγυπτίοις κυνοπρόσωποι καὶ βουκέφαλοι. Οὐχ ἁπλῶς τοίνυν ἡμεῖς εἰκόνα προσκυνοῦμεν, ἀλλὰ εἰκόνα Χριστοῦ ἀναλόγως δὲ καὶ τῶν Ἁγίων αὐτοῦ. Εἰ γὰρ αἱ τῶν Ἀποστόλων σκιαὶ σεπταὶ καὶ ἰάσιμοι, καίτοι ἀμυδράν τινα σημασίαν αὐτῶν ἀποσώζουσαι, πολλῷ μᾶλλον αἱ εἰκόνες ὡς ἀριδηλοτέραν καὶ τηλαυγεστέραν. Ὁ δὲ οὐρανοφοίτης μέγας Διονύσιος ὁ Ἀρεοπαγίτης πολλὴν τὴν σχέσιν ἔχειν τὴν εἰκόνα πρὸς τὸ ἀρχέτυπον ἀποδείκνυσι, φάσκων ἐν τῷ λόγῳ τῷ εἰς τὸ μυστήριον τῆς τελετῆς τοῦ μύρου οὕτω. «Καὶ καθάπερ ἐπὶ τῶν αἰσθητῶν εἰκόνων, εἰ πρὸς τὸ ἀρχέτυπον εἶδος ὁ γραφεὺς ἀκλινῶς εἰσορᾷ, πρὸς οὐδὲν ἄλλο τῶν ὁρατῶν ἀνθελκόμενος ἢ κατά τι μεριζόμενος αὐτὸν ἐκεῖνον, ὅστις ἐστί, τὸν γραφόμενον εἰ θέμις εἰπεῖν, διπλασιάσει, καὶ δείξει τὸν ἑκάτερον ἐν ἑκατέρῳ παρὰ τὸ τῆς οὐσίας διάφορον, οὕτω τοῖς φιλοκάλοις ἐν νῷ γραφεῦσιν ἡ πρὸς
243v τὸ εὐῶδες καὶ κρύφιον κάλλος ἀτενὴς καὶ || ἀπαρέγκλιτος θεωρία τὸ ἀπλανὲς δωρήσεται καὶ θεοειδέστατον ἴνδαλμα». Καθ' ἃ δὴ καὶ Γρηγόριος ὁ Νυσσαέων ἐν τῷ περὶ τῆς Ἁγίας Τριάδος λόγῳ περὶ τῆς διὰ Ἰσαὰκ προσφορᾶς τοῦ Ἀβραάμ· «εἶδον πολλάκις ἐπὶ γραφῆς εἰκόνα τοῦ πάθους καὶ οὐκ ἀδακρυτὶ τὴν θέαν παρῆλθον, ἐναργῶς τῆς τέχνης ὑπ' ὄψιν ἀγούσης τὴν ἱστορίαν» καὶ τὰ ἑξῆς. Φησὶ δὲ καὶ ὁ τούτου αὐτάδελφος ἐν τοῖς πρὸς Ἀμφιλόχιον κεφαλαίοις, ὅτι «ἡ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει». Διὰ γὰρ τοῦτο καὶ ἀλλήλους προσκυνοῦμεν καὶ εὖ ποιοῦμεν, οἷα δὴ ἐπὶ τὸν Χριστὸν διαβαίνουσαν τὴν εὐποιΐαν, τὸν εἰπόντα «ὅσα ἐποιήσατε τῷ κατ' εἰκόνα ἐμὴν πλασθέντι, ἐμοὶ ἐποιήσατε». Ἐνταῦθα γὰρ ὡς περὶ ἰδίας εἰκόνος τοῦτό φησιν, οὐχὶ ὡς περὶ ποιήματος. Ἐπεὶ καὶ περὶ τῶν κτηνῶν τὸ αὐτὸ ἂν εἰρήκει. Ἀλλὰ πῶς φησι γέγραπται, «οὐ ποιήσεις σεαυτῷ γλυπτόν, οὐδὲ παντὸς ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ
244r γῇ κάτω καὶ || ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς» ; Τοῦτο εἴρηκεν ὁ νομοδότης ἐπισχεῖν βουλόμενος τοὺς Ἰουδαίους προχείρους ὄντας εἰς εἰδωλολατρείαν, ὥστε μὴ τῷ τοῦ ἡλίου ὁμοιώματι καὶ

14) Περὶ τῆς Ἐκκλησ. Ἱεραρχίας Δ΄. Migne PG. 3, 473. 31) Ἐξ 20,4.

10) ἀριδηλωτέραν B

Ε.Υ.Δ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῷ τῆς Ἀφροδίτης καὶ τῷ τοῦ ταύρου καὶ αἰλούρου καὶ κροκοδεί-
λου προσκυνεῖν. Ἄλλως τε καὶ Θεὸς οὐκ εἰδοποιεῖται, ἅτε ἀσώμα-
τος ὢν καὶ ἀνείκαστος καὶ ἀσχημάτιστος· σωματωθεὶς δὲ καὶ σχή-
ματι εὑρεθεὶς ὡς ἄνθρωπος εἰκότως καὶ παρ' ἡμῖν εἰκονογραφεῖται.
Τί δὲ καὶ τὰ χερουβεὶμ τὰ κατασκευάζοντα τὸ ἱλαστήριον οὐχὶ γλυπτὰ
ἦν καὶ χειροποίητα ; Τί δὲ ἡ σκηνὴ οὐχὶ εἰκόνα καὶ τύπον ἔφερε τῶν
ἐπουρανίων καὶ πάσης τῆς κτίσεως, ἣ παρεστῶτες κυκλόθεν ὁ λαὸς
προσεκύνει ; Ὅρα γάρ φησι τῷ Μωϋσεῖ ὁ Θεός, ποιήσεις πάντα κατὰ
τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. Ταύτην οὖν τὴν παράδοσιν,
τὴν τῶν σεπτῶν εἰκόνων δῆλα δὴ προσκύνησιν καὶ ἀναστήλωσιν, ἐκ
τῶν ἁγίων Ἀποστόλων παρελάβομεν. Φέρεται γὰρ ἐγγράφως, ὅτι ὁ
ἅγιος ἀπόστολος καὶ εὐαγγελιστὴς Λουκᾶς πρῶτος τὴν τοῦ Χριστοῦ
καὶ τῆς μητρὸς αὐτοῦ καὶ τῶν Ἀποστόλων μορφὴν || διὰ χρωμάτων f 244v
εἰδοποίησεν. Ὡσαύτως καὶ Πέτρος ὁ τῶν Ἀποστόλων κορυφαῖος, ὡς
ἱστορεῖ Εὐάγριος ἐπίσκοπος ὁ τὸν βίον συγγραψάμενος τοῦ ἁγίου
Παγκρατίου, διά τινος ζωγράφου Ἰωσὴφ καλουμένου ἱστορήσας τὸν
Κύριον καὶ πᾶσαν τὴν ἔνσαρκον αὐτοῦ οἰκονομίαν, δι' αὐτοῦ καὶ τοῦ
τιμίου Σταυροῦ κοσμεῖσθαι τὰς ἐκκλησίας τοὺς πιστοὺς ἐκέλευσεν, ἵνα
ὁρῶντα τὰ πλήθη τῶν εἰσιόντων τοῦ χαρακτῆρος τὸν τύπον καὶ ὑπό-
μνησιν τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου λαμβάνοντα ἀναζωπυροῦνται
καὶ θερμοτέραν τὴν πίστιν ἐνδύωνται, ἃ καὶ φόβῳ πολλῷ καὶ σεμνότητι
παρῄνει τιμᾶσθαι, ὡς ὁρῶντες τῶν ἱστοριῶν τοὺς τύπους. Ἀλλὰ δὴ
Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς διὰ τῶν ἁγίων εἰκόνων λέγεται
ἐλθεῖν εἰς θεοσέβειαν. Ἀθανάσιος δὲ ὁ μέγας εἰκόνα διηγεῖται τοῦ
Χριστοῦ βλύσαι αἷμα κρουσθεῖσαν ὑπὸ Ἰουδαίων, καὶ ἄλλα μυρία
θαύματα ἐνήργησαν αἱ εἰκόνες καὶ ἐνεργοῦσι. Καλῶς οὖν ποιοῦσιν οἱ
χριστιανοὶ προσκυνοῦντες τὰς ἱερὰς καὶ ἁγίας εἰκόνας. Οὐ γὰρ ξύλον
τυχὸν ἢ τοῖχον καὶ χρώματα προσκυνοῦμεν, <u>ἀλλὰ τὸ ὁμοίωμα καὶ δι'
αὐτοῦ τὸν || ἐξομοιούμενον.</u> Ὅθεν τοῦ χρωματιστοῦ χαρακτῆρος πολ- f 245r
λάκις ἐκτριβέντος, ὡς ἀργὸν ξύλον ἢ καὶ τοῖχον τοῦ λοιποῦ οὐκέτι
προσκυνοῦμεν. Εἴποιμι δ' ἂν καὶ τοῦτο πρὸς τοὺς χριστομάχους, ὡς
εἰ τὸν τοῦ σταυροῦ ἀντίτυπον γενόμενον σταυρὸν προσκυνοῦσιν, οὐ
πολλῷ μᾶλλον ἔδει τὴν τοῦ Χριστοῦ εἰκόνα ; Ὁ μὲν γὰρ εἰκὼν ἐστι
τοῦ σταυροῦ, δι' οὗ ἡμᾶς Χριστὸς ἔσωσεν, ἡ δὲ αὐτοῦ τοῦ σώσαντος.
Ἴδε οὖν ὅση ἡ διαφορὰ σταυροῦ καὶ Χριστοῦ μέσον. Προσκυνοῦμεν
γὰρ καὶ αὐτὸν τὸν σταυρόν, ὡς ὄργανον γενόμενον τῆς ἡμῶν σωτη-

**35) Ἐν τῇ ᾠᾷ : κατὰ Παυλικιανῶν καὶ Βογομίλων, τὸν σταυρὸν ἀθετούντων.**

Ε.Α.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ρίας. Ὡσαύτως λόγχην τε καὶ τοὺς ἥλους καὶ τὰ ἄλλα ἅγια πάθη, ἐξόχως δὲ τοῦτον ὡς κυριώτερον καὶ περιεκτικώτατον ὄντα τῶν ἄλλων παθῶν, καθὸ καὶ τὸν Χριστὸν ἐσταυρωμένον ἔξοχα, οὐ λελογχευμένον ἢ προσηλωμένον προσαγορεύομεν ἁπλῶς. Διά τοι τοῦτο καὶ ὁ ἄγγελός φησι πρὸς τὰς μυροφόρους. «Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον». Καὶ ὁ Παῦλος, «ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ». Καὶ ὁ Ἡσαΐας, «ἐν κυπαρίσσῳ f 245v καὶ πεύκῃ καὶ κέδρῳ ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιον Κυρίου», καὶ «τὸν τόπον τῶν ποδῶν μου δοξάσω». ‖ Ἐκ γὰρ τούτων τῶν τριῶν ξύλων ὁ σταυρὸς συνήρμοσται. Διὰ τοῦτο οὐδ' ὥσπερ ἰδίᾳ τὸν σταυρὸν ἀνιστοροῦντες προσκυνοῦμεν, οὕτω καὶ τὴν λόγχην καὶ τὸν κάλαμον καὶ εἴ τι τοιοῦτον, ἀλλ' ἅμα σὺν αὐτῷ, ἰδίᾳ δὲ καὶ ἕκαστον αὐτὸ ὂν τῇ ἀληθείᾳ. Ὡσαύτως κατ' ἀναλογίαν καὶ τοὺς ἁγίους τόπους, ἐν οἷς ὁ Κύριος ἐγεννήθη καὶ ἐσταυρώθη καὶ ἐτάφη καὶ ἀνελήφθη καὶ ἐκάθισε καὶ ἐπάτησε, τούς τε τῶν Ἁγίων τάφους, τὸ ἱερὸν Εὐαγγέλιον καὶ εἴ τι τοιοῦτον. Καὶ τοῦτο δὲ εἰδέναι χρή, ὅτι ἄλλο ἐστὶ φυσικὴ εἰκὼν καὶ ἄλλο μιμητική· ἡ μὲν οὐ φυσικὴν διαφορὰν ἔχουσα πρὸς τὸ αἴτιον, ἀλλ' ὑποστατικήν, ὡς ὁ Υἱὸς πρὸς τὸν Πατέρα· μία μὲν γὰρ τούτων φύσις, δύο δὲ ὑποστάσεις· ἡ δὲ τοὐναντίον οὐχ ὑποστατικὴν διαφορὰν ἔχουσα πρὸς τὸ ἀρχέτυπον ἀλλὰ φυσικήν, ὡς ἡ εἰκὼν τοῦ Χριστοῦ πρὸς τὸν Χριστόν. Μία μὲν γὰρ ὑπόστασις τούτων, δύο δὲ φύσεις. Ἄλλη γὰρ φύσις ὑλογραφίας καὶ ἄλλη Χριστοῦ κατὰ τὸ ἀνθρώπινον, καθ' ὃ καὶ περιγράφεται καὶ ἀρχέτυπον εἰκόνος καθίσταται. Λέγεται δὲ Χριστὸς καὶ ἡ τοῦ Χριστοῦ εἰκών, ἀλλὰ καταχρηστικῶς, ὥσπερ καὶ βασιλεὺς ἡ τοῦ βασιλέως.

---

5) Μάρκ. 16,6. 6) Γαλ. 6,14. 7) Ἡσ. 60,13. 9) Ἐν τῇ ᾤᾳ : οἶμαι καὶ δι' ἕτερον τρόπον τὸ μὲν ἀνιστόρηται, τὰ δ' οὔ· ὅτι μετὰ τὴν τοῦ σταυροῦ εὕρεσιν τὸ τούτου ἀντίτυπον οὐ κεκοινώνηται τοῖς κακούργοις, τὰ δὲ κοινὰ ἐν πάσῃ τῇ οἰκουμένῃ. Εἰ γὰρ καὶ πρὸ τοῦ Κωνσταντίνου ἐπροσκυνεῖτο τὸ τοῦ Χριστοῦ ἀντίτυπον, ἀλλὰ μετ' ἐπιγραφῆς εἰς διαστολὴν τῶν λοιπῶν, νῦν δὲ καὶ ἄνευ ἐπιγραφῆς.

Ε.Υ.Ζ.Της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# ΛΟΓΟΣ ΤΡΙΤΟΣ

**Περὶ τῶν μετὰ τὴν παράβασιν, ἐξόχως δὲ περὶ τοῦ Κάϊν καὶ τῶν ὀνομασθέντων υἱῶν Θεοῦ παρὰ τῇ Γραφῇ καὶ περὶ περιτομῆς καὶ νόμου ταὐτότητος καὶ διαφορᾶς.** f 246r

Ἀλλὰ μετέλθωμεν λοιπὸν καὶ ἐπὶ τὰς μετὰ τὴν παράβασιν ἐπεισελθούσας ἡμῖν ξυμφορὰς διὰ τὴν τῆς ἁμαρτίας πληθύν, μᾶλλον δὲ εὐεργεσίας τὰς ἐκ Θεοῦ κατὰ καιρὸν ἀναδειχθείσας ἀξίας τῆς αὐτοῦ ἀγαθότητος καὶ κηδεμονίας. Ἐκβληθέντων τοίνυν τῶν πρωτοπλάστων ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐγένοντο αὐτοῖς υἱοὶ καὶ θυγατέρες, ὧν πρῶτος Κάϊν υἱὸς αὐτοῖς ἐγένετο, οὐκ ἐκ τοῦ πονηροῦ, ὡς ἡ τῶν Βογομίλων αἵρεσις ὑπολαμβάνει, διὰ τὸ εἰπεῖν τὸν ἀπόστολον Ἰωάννην ὅτι Κάϊν ἐκ τοῦ πονηροῦ ἦν καὶ ἔσφαξε τὸν ἀδελφὸν αὐτοῦ, ἀλλ' ἐκ τοῦ Ἀδάμ, προγνόντος τὴν Εὔαν, ὡς ἡ Μωσαϊκὴ ἱστορία διαλαμβάνει· ἐκ τοῦ πονηροῦ δὲ λέγεται, διὰ τὸ δοχεῖον αὐτὸν γενέσθαι τῆς ἐνεργείας τοῦ πονηροῦ καὶ φονεῦσαι τὸν ἀδελφὸν αὐτοῦ. Καθ' ὃν τρόπον καὶ ὁ Χριστὸς τέκνα τοῦ διαβόλου καλεῖ τοὺς Ἰουδαίους καὶ τοὺς Φιλισταίους γεννήματα || ἐχιδνῶν· πρὸς δὲ τοὺς μαθητάς φησιν, «ὑμεῖς f 246v
ἐκ τοῦ κόσμου οὐκ ἐστέ». Ὅτι δὲ ἐκ τοῦ κόσμου ἦσαν, δηλοῖ τὸ ἐπαγόμενον, «ἀλλ' ἐγὼ ὑμᾶς ἐξελεξάμην ἐκ τοῦ κόσμου». Οὐκ εἶναι δὲ ἐκ τοῦ κόσμου φησί, διὰ τὸ μὴ πολιτεύεσθαι κατὰ κόσμον. Καὶ ὅτι οὕτως ἔχει, ἐκ τῶν ἀνωτέρω εἰρημένων τῷ Ἀποστόλῳ δῆλον· «ὁ ποιῶν, φησί, τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν»· ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. Μετὰ μὲν οὖν τὸν Κάϊν ἐγένετο υἱὸς τῷ Ἀδὰμ ὁ Ἄβελ, ὃν ἐπαναστὰς Κάϊν ἐφόνευσε ζηλοτυπίᾳ φερόμενος· μετὰ δὲ τὸν Ἄβελ Σὴθ ἀντ' αὐτοῦ. Τούτων οὖν γεννηθέντων ἐπλεόνασε τὸ γένος τὸ ἀνθρώπινον καὶ ἤρξατο παραπικραίνειν τὸν Κύριον. Καὶ ὀργισθεὶς Κύριος ἐπήνεγκεν αὐτοῖς τὸν κατακλυσμόν, ἐξ οὗ μόνος διεσώθη Νῶε καὶ ἡ γυνὴ αὐτοῦ καὶ οἱ τρεῖς υἱοὶ αὐτοῦ μετὰ τῶν γυναικῶν αὐτῶν, οἱ πάντες ὀκτὼ ἐκ τοῦ Σὴθ γενεαλογούμενοι. Δι' ἣν δὲ αἰτίαν ὁ κατακλυσμὸς τῷ τότε ἐπῆλθεν, οὐ φανερῶς διηγήσατο ὁ προφήτης, ἴσως διὰ τὸ τῶν Ἑβραίων ὀλισθηρὸν καὶ ἐπιρρεπὲς πρὸς τὴν κακίαν, ἵνα μὴ πρόφασιν αὐτοῖς δῷ ἁμαρτίας || καὶ μηδεὶς ἀπιστείτω ἐκ τῶν παρ' f 247r

1) Κῶδ. Βερ. 214 (Phil. 1617) f. 246r—256r. 17) Ἰωάν. 15,19. 21) Α' Ἰωάν. 3,8.



Ε.Υ.Δ.Ε.Π.Σ. Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

αὐτῶν μετὰ ταῦτα δρωμένων, ἐπιγινώσκων τὴν τούτων κουφότητα. Πλὴν καὶ τοῦτο ἠνίξατο ἐν τῷ εἰπεῖν, «ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν ἔλαβον ἑαυτοῖς γυναῖκας ἐκ πασῶν ὧν ἐξελέξαντο». Τοῦτο εἰκός ἐστιν ἡ αἰτία τῆς αὐτῶν ἀπωλείας, ὡς ἐκδηλότερον μετὰ ταῦτα ῥηθήσεται. Μετ' ὀλίγα δὲ περὶ πάντων κοινῶς τῶν πονηριῶν αὐτῶν φησίν· «ἰδὼν δὲ ὁ Θεὸς ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς καὶ πᾶς τις ἐπιμελῶς διανοεῖται ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ», καὶ αὖθις «ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ Θεοῦ καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας». Ἀλλ' οἱ τὸ πᾶν τῇ ἑαυτῶν κακίᾳ ἐπιτρέποντες, ἀγγέλους ὑπειλήφασιν εἶναι τοὺς ἐπιμιγέντας ταῖς τῶν ἀνθρώπων θυγατράσι, μὴ συνιδεῖν δυνάμενοι οἱ ἐμβρόντητοι, ὅτι υἱοὺς Θεοῦ πολλάκις ἡ Γραφὴ τοὺς υἱοὺς τῶν ἀνθρώπων καλεῖ, ὡς ἐν τῷ νόμῳ γέγραπται· «Θεοὺς οὐ κακολογήσεις καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς», καὶ ἐν Ψαλμοῖς «ἐγὼ εἶπα θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες», καὶ ἐν Ἡσαΐᾳ «υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δὲ μὲ ἠθέτησαν» καὶ ἑτέροις τοιούτοις. Ἡμεῖς δὲ ὀρθῶς καὶ κατὰ τὰς θείας Γραφὰς τὸ ῥητὸν
f 247v οὕτως ἐκλαμβάνομεν, ὅτι υἱοὺς Θεοῦ τούτους καλεῖ || ἢ ὡς θεόθεν ἔχοντας τὴν ὕπαρξιν, καθὸ καὶ πατέρα καὶ ποιητὴν τοῦτον καλοῦμεν, ἢ ὡς ἐναρέτους ὄντας τὸ πρότερον, ἐπείπερ μετὰ ταῦτα ἀνθρώπους καὶ σάρκα ἀποκαλεῖ, ἢ κατ' εἰρωνείαν ὡς καὶ περὶ τοῦ Ἀδὰμ εἴρηται, ὅτι «γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν», τῶν ἐν Τριάδι δῆλον ὅτι, καίτοι μὴ γεγονότος ἢ πρὸς πλείονα ἔμφασιν κατηγορίας, ὅτι οὕτως υἱοὶ Θεοῦ ὄντες κατὰ χάριν, ἀνθρώπων θυγατέρας προετίμησαν αὐτοῦ τοῦ Θεοῦ ἢ ὡς τὰ κατ' αὐτοὺς κακὰ μέλλων ὁ προφήτης διηγήσασθαι, ἵνα μή τινι δόξῃ μήνιδι τούτους διασύρων, προλαβὼν υἱοὺς Θεοῦ ὀνομάζει· ὡς καὶ ἐν Ἀθήναις ὁ Παῦλος διαλεγόμενος γένος Θεοῦ ἀποκαλεῖ τοὺς Ἕλληνας, ἵνα δείξῃ ὅτι τοιοῦτοι ὄντες εἰς τὶ κατήντησαν, ὥστε υἱοὺς καὶ γένος ὄντας αὐτοὺς τοὺς Θεοῦ τοῖς κτίσμασι λατρεύειν τοῦ Θεοῦ. Ἀλλὰ πῶς, φησίν, οὐ καλεῖ τὰς γυναῖκας θυγατέρας τοῦ Θεοῦ, ὡς καὶ τοὺς ἄνδρας καλεῖ υἱοὺς τοῦ Θεοῦ; Καὶ πρὸς τοῦτο φαμέν, ἢ ὅτι εἰς Θεὸν ἦσαν ἀσεβοῦσαι ἢ διὰ τὴν διάθεσιν ἣν εἶχον οἱ ἄνδρες πρὸς αὐτὰς τὴν ἀνθρωπίνην· ὥσπερ καὶ φρέαρ ὅρκου λέγεται, καὶ φρέαρ ἐχθρίας διὰ τὰ ἐν αὐτοῖς συμβάντα· οὐ γὰρ θεοφιλεῖ σκο-
f 248r πῷ || ταύτας ἐχρῶντο, ἀλλ' ἢ μόνον πρὸς τὸ ἐκπληρῶσαι τὴν ἑαυτῶν

[2]) Γεν. 6,2. [6]) Γεν. 6,5. [8]) Γεν. 6,11. [9]) Ἐν τῇ ᾤᾳ: κατὰ Σαρακηνῶν καὶ Βογομίλων. [13]) Ἐξ. 22,28. [15]) Ψαλμ. 81,86. [16]) Ἡσ. 1,2.

Ε.Υ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐπιθυμίαν· ἦσαν γάρ, φησί, καλαί, ἤτοι ὡραῖαι, οὐ μὴν ἀλλὰ καὶ ἀγαθαί, ὃ λαμβάνεται ἐπὶ τῆς ψυχικῆς ὡραιότητος. Συνέβη τοίνυν ὡραίας μὲν ὑπάρχειν τῇ ὄψει ἢ ἐκ φύσεως ἢ τινὸς ἐπιτηδειότητος, ἀσελγεῖς δὲ τῷ τρόπῳ καὶ τῷ ἤθει αἰσχρὰς καὶ εἰς Θεὸν ἀσεβούσας. Οὐ γὰρ ἂν οὕτω κατεκρίθησαν σὺν αὐταῖς οἱ ταύτας λαμβάνοντες, εἰ μὴ ἦσαν εἰς Θεὸν ἁμαρτάνουσαι. Οἱ ἄνδρες τοιγαροῦν τῷ τῶν γυναικῶν καταθελγόμενοι ἔρωτι, πάντα ἐποίουν πρὸς τὸ αὐταῖς ἀρέσκειν, διδασκόμενοι παρ' αὐτῶν τὰ πονηρά. Καὶ γάρ, ὥς φασί τινες, ἐκ τοῦ γένους Κάϊν αἱ τοιαῦται κατήγοντο, κακοτρόπου ὄντος. Τοῦτο καὶ Σολομὼν πέπονθεν ἁλοὺς τῷ τῶν γυναικῶν ἔρωτι. Δῆλον δὲ ὅτι ἄνθρωποι ἦσαν καὶ οὐκ ἄγγελοι καὶ ἐκ τοῦ εἰπεῖν τὸν Χριστόν, ὥσπερ ἐπὶ τοῦ Νῶε ἦσαν τρώγοντες καὶ πίνοντες γαμοῦντες καὶ ἐκγαμίζοντες καὶ μετὰ ταῦτα ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Ὥσπερ γὰρ οὐκ ἄγγελοι ἔσονται οἱ μετὰ ταῦτα, οὕτως οὐδὲ οἱ τότε. Πῶς δὲ καὶ ἄγγελοι ὄντες ἤσθιον καὶ ἔπινον, ἐγάμουν τε || καὶ μάλιστα ἐξεγάμιζον; Δέδεικται οὖν ἐντεῦθεν f 248v συκοφαντίαν εἶναι τὸ λέγειν ἀγγέλους ὑπάρχειν τοὺς τοιούτους ἀνθρώπων ἀκολάστων καὶ αἱρετικῶν. Ἵνα δὲ μὴ γίγαντας μόνους νομίσῃς τοὺς ἐκ τοῦ ἀθέσμου τούτου συνοικεσίου γενομένους, προλαβὼν εἴρηκεν, «ἐν ἐκείναις ταῖς ἡμέραις ἦσαν οἱ γίγαντες ἐπὶ τῆς γῆς». Εὑρήσεις δὲ καὶ τινας ἐκ τοῦ Νῶε καταγομένους καὶ οὕτω παρὰ τῇ Γραφῇ ὀνομαζομένους, οἷος ἦν Νεβρὼδ. . . καὶ ἕτεροι. Γίγαντας δὲ οἶμαι καλεῖν τοὺς εὐμεγέθεις καὶ ῥωμαλέους, ὡς καὶ Δαυίδ φησι· «καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ». Ἐμνήσθη δὲ καὶ τούτων ἡ θεία Γραφή, ἵνα γνῷς ὅτι οὐ φείδεται ὁ Θεὸς τοιούτων ἀνθρώπων, ἐπὰν εὕρῃ αὐτοὺς ἐν κακοῖς. Διασωθέντος οὖν τοῦ Νῶε μετὰ τῶν σὺν αὐτῷ, ἐπλεόνασεν αὖθις τὸ τῶν ἀνθρώπων γένος καὶ ἤρξαντο εἰδώλοις προσκυνεῖν.

Καὶ τότε ἐπέβλεψεν ὁ Θεὸς εἰς Ἀβραάμ, ἄνδρα Χαλδαῖον, τῆς Μεσοποταμίας χώρας, ἐκ τῆς τοῦ Σὴμ γενεᾶς καταγόμενον, καὶ εἶπεν αὐτῷ. «Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ δεῦρο εἰς γῆν, ἣν || ἄν σοι δείξω». Ὑπακούσας οὖν Ἅβραμ, οὕτω γὰρ προε- f 249r κέκλητο, ἐξῆλθε· καὶ ἔδειξεν αὐτῷ ὁ Θεὸς τὴν γῆν Χαναάν, ἤτοι Παλαιστίνης καὶ Ἰουδαίας, εἰπὼν αὐτῷ· ταύτης σε καταστήσω κληρονό-

[29]) Ματθ. 24,38. [30]) Γεν. 6,4. [32]) Νεβρώδ. . . δύο ἕτερα ὀνόματα ἐκ τῆς ΠΔ. ἐξίτηλα. [33]) Ψαλμ. 32,16 [31]) Γεν. 12,1. [34]) Γεν. 15,6. Ῥωμ. 4,3.

[33]) Ῥωμαλαίους Β

Ε.Υ.ΔΙΠΣΚ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

μον· καὶ πιστεύσας τῷ Θεῷ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Μέλλοντος δὲ τοῦ σπέρματος αὐτοῦ μέσον τοῖς ἔθνεσιν παροικεῖν, ἵνα μὴ τῇ τούτων ἐπιμιξίᾳ εἰς τὴν αὐτῶν θρησκείαν ἐκκλίνωσιν, ἐμηχανήσατό τι σημεῖον δοῦναι τοῖς ἐξ Ἀβραάμ, διεῖργον αὐτοὺς τῆς τῶν ἐθνῶν παρανομίας, ἀπειλῇ ἀπειλησάμενος. «Πᾶς, γάρ φησιν, ἄρσην ὃς οὐ περιτμηθήσεται τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ γένους αὐτῆς, ὅτι τὴν διαθήκην μου διεσκέδασεν». Ἐδόκει δὲ τοῖς Ἰσραηλίταις εἴς τινα ψυχικὴν ὠφέλειαν συντελεῖν τὴν περιτομήν. Οὐ μὴν δέ· εἰ γὰρ εἰς ὠφέλειαν ψυχικὴν συνετέλει, ἔδει ἕτερόν τι σημεῖον δοῦναι, ὃ καὶ ταῖς θηλείαις ἁρμόδιον. Δέδωκε δὲ τὴν περιτομὴν μόνην εἰς γνώρισμα τῆς πίστεως τοῦ δικαίου Ἀβραάμ, ὡς εἴρηται. Οὐκ ἐν ἑτέρῳ δὲ μέλει, ἵνα μὴ ἄχρηστον καὶ ἄσχημον τὸν ἄνθρωπον
f 249v ἀπεργάσηται, ἀλλ' ἐν τῷ || περιττεύοντι καὶ κρυπτῷ μορίῳ. Ταῖς δὲ γυναιξὶν οὐκ ἔδωκέ τι σημεῖον, ὡς ἑπομέναις τοῖς ἀνδράσι κατὰ πάντα καὶ μὴ συγχωρουμέναις τὶ δρᾶν ἔξω τῆς αὐτῶν γνώμης. Τῶν ἀνδρῶν γὰρ μελλόντων εὐσεβεῖν ἢ παρανομεῖν, καὶ αἱ γυναῖκες ἕπονται ὡς ἀσθενέστερον μέλος καὶ ἐπιδεὲς τῶν ἀνδρῶν. Ὅτι δὲ εἰς σημεῖον δέδοται διαστέλλον αὐτοὺς τῶν ἐθνῶν, δῆλον ἐκεῖθεν, ὅτι ἐν τῇ Αἰγύπτῳ ὄντες καὶ τοῖς Αἰγυπτίοις συναναστρεφόμενοι, ἐδέχοντο τὴν περιτομὴν ὥς τι ἀναγκαῖον, ἐν δὲ τῇ ἐρήμῳ τοῦτο οὐδαμῶς, ἅτε μόνοι κατὰ μόνας γενόμενοι καὶ ἀμιγεῖς τῶν ἀλλογενῶν· μετὰ δὲ τὸ γενέσθαι αὐτὰς πλησίον τῆς ἐπαγγελθείσης αὐτοῖς γῆς καὶ μελλόντων αὖθις συναναμιγῆναι τοῖς ἔθνεσιν, ἐντολὴ αὐτοῖς δευτέρα μετὰ τὴν πρὸς Ἀβραὰμ δέδοται καὶ περιτέμνονται ἅπαντες ὑπὸ Ἰησοῦ τοῦ Ναυῆ ἐν Γαλγάλοις. Σημείωσαι δὲ καὶ τοῦτο, ὅτι τοῦ Θεοῦ εἰπόντος ὅτι ἐξολοθρευθήσεται πᾶσα ψυχή, ἥτις οὐ περιτμηθήσεται τῇ ὀγδόῃ ἡμέρᾳ, οἱ μὲν περιτμηθέντες ἐν τῇ Αἰγύπτῳ τῇ ὀγδόῃ ἡμέρᾳ ἅπαντες ἀπώλοντο
f 250r ἐν τῇ ἐρήμῳ, μὴ συγχωρηθέντες || ἰδεῖν τὴν γῆν τῆς ἐπαγγελίας, οἱ δὲ τούτων παῖδες τοσοῦτον χρόνον διαρκέσαντες ἀπερίτμητοι ἠξιώθησαν κατοικῆσαι τὴν γῆν ταύτην. Ὥστε οἰκονομικῶς δέδοται ἡ περιτομὴ πρὸ τῆς Χριστοῦ παρουσίας, ὡς καὶ αἱ ζῳοθυσίαι. Νῦν δὲ τῆς εὐσεβείας πανταχῇ κρατησάσης οὐ χρεία περιτομῆς. Ἐνταῦθα δὲ τοῦ-

1) Ἐν τῇ φα: κατὰ Ἰουδαίων, Ἀγαρηνῶν καὶ Ἰακωβιτῶν. 5) Γεν. 17,14. 13) Ἐν τῇ φα: περιττὸν λέγω τὴν ἀκροβυστίαν, οὐχ ὡς ἄχρηστον, ἀλλ' ὡς ἐξέχον τῆς βαλάνου καὶ μᾶλλον τῶν λοιπῶν μορίων δυνάμενον αἱρεσθαι ἀλύπως· ὥσπερ γὰρ οἱ ποιμένες εἰς γνωρισμὸν τῶν ἰδίων θρεμμάτων τὰ ὠτία τέμνουσιν ἢ τί ἀφαιροῦσιν, οὕτω καὶ ὁ ποιμαίνων τὸν Ἰσραήλ ποτε ἐποίησε, τὸ κάλυμμα κελεύσας αἱρειν τοῦ σπερμογόνου μορίου εἰς διαθήκην ἣν ἔστησε τοῖς πατριάρχαις περὶ σπέρματος αὐτῶν.

Ε.Υ.ΣΕ.Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

ναντίον μᾶλλον γίνεται, ὅτι οἱ μὲν ἄπιστοι περιτέμνονται, οἱ δὲ πιστοὶ εἰς διαστολὴν τῶν ἀπίστων οὐ περιτέμνονται. Διὸ καὶ Παῦλός φησιν, «ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει». Διεξοδικώτερον δὲ περὶ περιτομῆς διαλαμβάνει ἔν τε τῇ πρὸς Ῥωμαίους αὐτοῦ ἐπιστολῇ καὶ τῇ πρὸς Γαλάτας καὶ Κολοσσαεῖς καὶ Φιλιππησίους καὶ ἔξεστι τῷ βουλομένῳ ἐκεῖθεν γνῶναι πᾶσαν τὴν ἀλήθειαν. Γέγραπται δὲ καὶ ἐν ταῖς Πράξεσι τῶν ἁγίων Ἀποστόλων, ὅτι τινὲς τῶν πιστευσάντων Ἰουδαίων διέβαλλον τοὺς ἐξ ἐθνῶν πιστεύοντας ὡς ἀπεριτμήτους· περὶ οὗ συνελθόντες οἱ Ἀπόστολοι ἔκριναν μηδὲν ἐνοχλεῖν τοῖς ἐξ ἐθνῶν πιστεύουσι χάριν περιτομῆς, οἵτινες ἔλαβον τὸ Πνεῦμα τὸ Ἅγιον ὡς καὶ οἱ ἐκ περιτομῆς· ταῦτα δὲ μόνα τηρεῖν αὐτοὺς εἰς ἃ ὡς εἰκὸς ἐνέπιπτον, ἤτοι τὸ || ἀπέχεσθαι εἰδωλοθύτων καὶ πορνείας καὶ f 250v πνικτοῦ καὶ αἵματος. Διά τοι τοῦτο καὶ Χριστὸς τοὺς ἰδίους μαθητὰς ἀποστέλλων ἐπὶ τὸ κήρυγμα οὐ περιτέμνεσθαι προσέταξε τοὺς πιστεύοντας, ἀλλὰ βαπτίζεσθαι καὶ τηρεῖν τὰς αὐτοῦ ἐντολάς. Εἰ δὲ καὶ αὐτὸς ὁ Χριστὸς περιετμήθη, εἰρήσεται καὶ περὶ τούτου ἐν καιρῷ τῷ προσήκοντι. Ἀλλ' ἐπανιτέον αὖθις ἐπὶ τὴν τοῦ λόγου ὑφήν.-

Ἐγέννησε μὲν οὖν Ἀβραὰμ τὸν Ἰσαάκ, οὗτος δὲ τὸν Ἰακὼβ καὶ ὃς τοὺς δώδεκα πατριάρχας. Πατριάρχαι δὲ ἐκλήθησαν ὡς τῶν δώδεκα φυλῶν γενάρχαι γενόμενοι. Ἐπωνομάζοντο δ' οὗτοι Ἑβραῖοι καὶ Ἰσραηλῖται καὶ Ἰουδαῖοι καὶ Ἑβραῖοι μὲν ἢ ἀπὸ τοῦ Ἔβερ, προπάτορος Ἀβραάμ, ἢ ἀπ' αὐτοῦ τοῦ Ἀβραάμ. Ἰσραηλῖται δὲ ὡς ἀπὸ τοῦ Ἰακώβ, μετονομασθέντος Ἰσραὴλ παρὰ Θεοῦ. Ἰουδαῖοι δὲ ἐκαλοῦντο οὐ κυρίως μὲν πάντες, ἀλλ' οἱ καταγόμενοι ἐκ τῆς φυλῆς Ἰούδα, καταχρηστικῶς δὲ πάντες ἐλέγοντο Ἰουδαῖοι, διὰ τὸ ἐκ τῆς φυλῆς ταύτης γίνεσθαι τοὺς βασιλεῖς. Ἐκ τούτων || οὖν τῶν δώδεκα υἱῶν f 251r τοῦ Ἰακὼβ ἦν Ἰωσήφ, ᾧ παρεζήλουν οἱ ἀδελφοὶ αὐτοῦ, ἕως οὗ ἀπέδοντο αὐτὸν ἀνθρώποις ἀπιοῦσιν εἰς Αἴγυπτον. Ὃς ἐλθὼν εἰς Αἴγυπτον ἔσχε χάριν ἐνώπιον Φαραὼ βασιλέως Αἰγυπτίων διὰ τὸ προαγορεῦσαι αὐτῷ τὸν γενησόμενον λιμόν. Οὗ καὶ γενομένου, ἀπάρας Ἰακὼβ ἐκ Παλαιστίνης μετὰ τῶν λοιπῶν αὐτοῦ υἱῶν καὶ υἱωνῶν (;), πάντων ἁπλῶς εἰπεῖν τῶν ἐξ αὐτοῦ καὶ μετ' αὐτοῦ, ἦλθεν εἰς Αἴγυπτον χάριν σίτου. Ἀναγνωρισθέντες δὲ ὑπὸ τοῦ Ἰωσὴφ ἔμειναν ἐκεῖσε ἀναπαυθέντες ὑπ' αὐτοῦ. Τελευτήσαντος δὲ Ἰακὼβ καὶ Ἰωσήφ, ἐμισοῦντο ὑπὸ τῶν Αἰγυπτίων οἱ Ἰσραηλῖται ὡς ἀλλογενεῖς καὶ ἑτεροήθεις καὶ μᾶλλον διὰ τὸ πληθυνθῆναι αὐτούς, καὶ διὰ τοῦτο κατε-

³) Γαλ. 5,2.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πονοῦντο ὑπ' αὐτῶν βίᾳ. Τότε δὴ τότε ἐμνήσθη ὁ Θεὸς τῆς διαθήκης, ἧς διέθετο τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ ἐξήγαγεν ἀπ' Αἰγύπτου τοὺς υἱοὺς Ἰσραὴλ διὰ Μωσέως τοῦ προφήτου καὶ μετὰ ταῦτα νομοθέτου, ὄντας ἑξακοσίας χιλιάδας, καίπερ χωρὶς γυναικῶν καὶ παιδίων. Ἐξελθόντες δὲ ἔμειναν ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα, ὅτε καὶ τὸν νόμον ἔδωκεν αὐτοῖς ὁ Θεὸς διὰ Μωϋσέως. Καὶ μετὰ ταῦτα ἐπέβησαν τὴν γῆν τῆς ἐπαγγελίας, ὄντος δημαγωγοῦ Ἰησοῦ υἱοῦ Ναυῆ. Φθάσας γὰρ Μωϋσῆς ἐτελεύτησε, καταλείψας Ἰησοῦν
f 251v ἀντ' αὐτοῦ. ||

Ἀλλ' ἐνταῦθα γενόμενοι, οὔ μοι δοκεῖ εὔλογον καὶ ἀνεπαχθὲς μή τινα καὶ περὶ τοῦ νόμου διαλαβεῖν· διὸ ἀκολούθως καὶ περὶ τούτου λεκτέον. Ἀλλ' ὅπως μὲν αὐτοῖς τό γε νῦν ἔχον δέδοται ἐατέον, ἵνα μὴ τὸν λόγον εἰς μῆκος ἐκτείνωμεν. Τοῦτο δὲ μόνον γνῶναι δεῖ· ὅτι ὁ πάλαι τοῖς Ἰσραηλίταις δοθεὶς νόμος ἀτελὴς ἦν, ἀτελέσι καὶ νηπίοις τὴν ἕξιν τιθέμενος καὶ οἷόν τι προγύμνασμα, οὕτω τοῦ καιροῦ ἀπαιτοῦντος πρὸς τὸν μέλλοντα δοθῆναι μετὰ ταῦτα παρὰ Χριστοῦ τέλειον. Καὶ οὐ μόνον ἀτελής, ἀλλὰ καὶ ἀβέβαιος, μήπω τοῦ δόντος αὐτὸν πληρώσαντος. Ἅγιος δ' οὖν ὅμως καὶ ἄμωμος· «ὁ νόμος, γάρ φησιν ὁ Ἀπόστολος, ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή»· καὶ ὁ Δαυΐδ, «ὁ νόμος Κυρίου ἄμωμος ἐπιστρέφων ψυχάς· ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια», τοὺς Ἰουδαίους δῆλα δή, ὡς ἀτελεῖς τὴν γνώμην, ὡς ἔφημεν. Ἐλθόντος δὲ τοῦ νομοδότου Χριστοῦ καὶ τετελείωται καὶ βεβαίωται. Πᾶς γὰρ ὁ νόμον παρέχων ἑτέροις, αὐτὸς δεῖ πρώτιστα αὐτὸν ἐκπληροῦν. Ἐπεὶ οὖν οὐδεὶς τῶν ἀνθρώπων ἦν ἄμεμπτος τῷ τότε ἁμαρτίας οὐδ' αὐτὸς Μωϋσῆς ὁ τὸν νόμον τεθείς, Θεὸς δὲ ὁ δοὺς διὰ Μωϋσέως τὸν νόμον ἀνθρωπίνοις νόμοις οὐχ ὑπόκειται, οὐδὲ γὰρ εἰς τοσοῦτον ἀνοίας ἔλθοιμεν, ὥστε ὑπὸ νόμον ἀνθρώπινον τὸν ποιητὴν τιθέναι, ἀνάγκη δὲ ἄνθρωπον εἶναι ἀναμάρτητον τὸν τὸν νόμον δωρούμενον, διὰ τοῦτο ὁ Θεὸς ἄνθρωπος γίνεται καθ' ἡμᾶς χωρὶς ἁμαρτίας. Αὕτη || γὰρ τῶν παρὰ
f 252r φύσιν ἐστίν, οὐ τῶν κατὰ φύσιν, ἵνα ὡς ἄνθρωπος αὐτὸς πρῶτος πληρώσας, οὕτω μεταδώσῃ τοῖς λοιποῖς. «Ἐν ᾧ, γάρ φησιν ὁ Ἀπόστολος, πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι». Φησὶ δὲ καὶ ὁ Χριστός· «οὐκ ἦλθον καταλῦσαι τὸν νόμον ἢ

[10]) ἐν τῇ ᾤᾳ: κατά Ἰουδαίων ἐπαιρομένων τῷ νόμῳ, καὶ κατὰ Παυλικιανῶν καὶ Βογομίλων καὶ Μανιχαίων μὴ δεχομένων αὐτὸν ὅλως. [18]) Ῥωμ. 7,12
[20]) Ψαλμ. 18,8 [32]) Ἑβρ. 2,18 [34]) Ματθ. 5,17.

ΙΩΑΝΝΙΝΑ 2006

τοὺς προφήτας, ἀλλὰ πληρῶσαι». Διττῶς δὲ δεῖ νοεῖν ἐνταῦθα τὸ πληρῶσαι, ἀντὶ τοῦ ποιῆσαι καὶ ἀντὶ τοῦ τελειῶσαι. Καὶ τοὺς μὲν προφήτας ἐπλήρωσε διὰ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας, τὸν δὲ νόμον ἐποίησε μὲν διὰ τῶν ἔργων, ἐτελείωσε δὲ διὰ τοῦ Εὐαγγελίου. Καὶ διὰ μὲν τῶν ἔργων, ἐν τῷ περιτέμνεσθαι καὶ προσφέρειν θυσίας, ἐν τῷ μὴ ὀργίζεσθαι, ἀλλὰ μᾶλλον ἐλεεῖν, ἐν τῷ τιμᾶν τοὺς γονεῖς καὶ ὑποτάσσεσθαι τούτοις καὶ ἐν τοῖς ὁμοίοις. Διὰ δὲ τοῦ Εὐαγγελίου ἐν τῷ λέγειν τόδε ποιήσεις καὶ τόδε μὴ ποιήσῃς. Ἀλλ' ἴσως ἐρεῖ τις, πῶς καὶ ἡμεῖς οὐ περιτεμνόμεθα καὶ προσφέρομεν θυσίας κατὰ τὸν νόμον καὶ τὰ λοιπὰ ποιοῦμεν ; Ἐπεὶ καὶ Χριστὸς ταῦτα ἐποίησεν, καὶ ἄκουσον συνετῶς. Ὁ Χριστὸς οὐ κατ' ἀνάγκην τινὰ τὰ ῥηθέντα ἐποίησεν, ἀλλ' ἐπεὶ δοτὴρ τοῦ νόμου ὑπῆρχε, δίκαιον ἦν, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν, πληρῶσαι τὸν νόμον, ὃν δέδωκεν, οὐχ ὅπως ποιῶμεν αὐτόν, ἐπεὶ γὰρ τὸ τέλος ἦλθε, τίς ἡ χρεία τῷ ἀτελεῖ προσκεῖσθαι, ‖ ἀλλ' ἵνα f 252v
καταισχύνῃ τοὺς λέγοντας ὅτι ὁ νόμος οὐκ ἦν ἐκ Θεοῦ, ἀλλ' ἐκ τοῦ πονηροῦ, καὶ ἵνα μὴ ἀντίθεος δόξῃ τῷ θείῳ νόμῳ μὴ ἐξακολουθήσας καὶ κατακρίνῃ μὲν τοὺς πρὸ αὐτοῦ μὴ τηρήσαντας τὸν νόμον δικαιώσῃ δ' αὖ τοὺς ποιήσαντας. Διὰ τοῦτο ἔλεγεν «ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου» προεφήτευσαν· περαιτέρω δῆλον ὅτι ἥκιστα, ὡς ἐκδηλότερον μετὰ ταῦτα ῥηθήσεται. Ἐπεὶ δὲ καὶ νόμος ἐκέλευε μὴ θύειν ἔκτοθι Ἱεροσολύμων, πῶς ἄρα δυνατὸν τὰ εἰς ἅπαντα τὸν κόσμον οἰκοῦντα ἔθνη ἐν Ἱεροσολύμοις θύειν καὶ τρὶς τοῦ ἐνιαυτοῦ ἀνέρχεσθαι εἰς προσκύνησιν ; Ὡς ἐντεῦθεν καὶ ἐξ ἄλλων πολλῶν δῆλον, ὅτι ἀτελὴς ἦν ὁ ποτὲ δοθεὶς νόμος τοῖς Ἰουδαίοις καὶ ἀναγωγικὸς ἐπὶ τὸν τέλειον καὶ οἷόν τις παιδαγωγὸς πρὸς καιρόν, καθ' ἅ φησιν ὁ Ἀπόστολος. «Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγὸν ἐσμέν». Διὸ καὶ ἐν ἑτέρῳ φησίν· «οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε»· καὶ πάλιν, «ὁ νόμος οὐδὲν ἐτελείωσεν», διὰ τὸ ἀτελῆ τοῦτον εἶναι πάντως. Πῶς δὲ καὶ ἡ ἀλήθεια ἐφανερώθη ἄν, μὴ παρελθούσης τῆς σκιᾶς ; Ὁ νόμος, ‖ γάρ φησι, σκιὰν εἶχε τῶν f 253r
μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, ὡς καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης φησίν, «ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο». Ποιήσας τοιγαροῦν ὁ Κύριος καὶ ἔργῳ πληρώσας τὸν νόμον, οὕτως ἐτελείωσε. Καὶ ἐποίησε

18) Λουκ. 16,16. 26) Γαλ. 3,24 28) Γαλ. 5,4 29) Ἑβρ. 7,19 31) Ἑβρ. 10,1 33) Ἰωάν. 1,17

Γ.Υ.Δ της 6ετ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

μὲν ἀκμὴν ἀτελῆ ὄντα πρὸ τοῦ βαπτίσματος, ἐτελείωσε δὲ πληρώσας μετὰ τὸ βάπτισμα. Διὰ τοῦτο καὶ πρὸς τὸν Ἰωάννην ἐπαγόμενος βαπτισθῆναι φησίν· «ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην», δικαιοσύνην καλῶν τὴν τοῦ νόμου ἐργασίαν· ὡς καὶ τοῖς μαθηταῖς αὐτοῦ ἔλεγεν, «ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν ὑπὲρ τῶν Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τοῦ Θεοῦ». Ὅθεν μετὰ τὸ βάπτισμα οὐκέτι τοῖς νομίμοις ἐχρεῖτο, ὡς τῆς καινῆς πολιτείας καὶ διαθήκης εὐθὺς ἐκ τοῦ βαπτίσματος ἀρξαμένης, ὡς δῆλον ἐκ τοῦ τὰ σάββατα λύειν τοὺς μαθητὰς ὡς διήρχοντο διὰ τῶν σπορίμων καὶ ἀνίπτοις ἐσθίειν χερσὶ καὶ συγχρᾶσθαι Σαμαρείταις. Εἰ δὲ καὶ ἐν ταῖς ἑορταῖς συνήρχετο τοῖς Ἰουδαίοις, ἀλλ' οὐχ ὡς συνεορτάσων, ἀλλὰ μᾶλλον διδάξαι τῷ συνελθόντι λαῷ. Οὕτως οὖν ποιῶν ἔργῳ καὶ λόγῳ τὸν νόμον ἐπλήρωσε, καθ' ἅ φησιν ὁ Ἀπόστο-
f 253v λος «ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν» καὶ || ὥς φησιν Ἱερεμίας ὁ προφήτης «ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ διαθήσομαι ὑμῖν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν ἐν ἡμέραις ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν». Πρόσχες οὖν ὅτι ἐν τῇ ἀτελεῖ διαθήκῃ οὐκ ἐνέμειναν, πολλῷ μᾶλλον τῇ τελείᾳ, εἰ ἐξ ἀρχῆς ἐδεδώκει. Διὰ τοῦτο ἡ μὲν συγκαταβατικωτέρα, ἡ δὲ ὑψηλοτέρα κατὰ πολύ. Ἐδόθη δὲ ἑκατέρα κατὰ τὸν συμφέροντα καὶ ἁρμόζοντα καιρὸν καθ' ὃν οἶδεν ὁ Κύριος διαμεῖναι τὸ διδόμενον δῆλον ὅτι. Ἀλλ' ὅπως ἐπλήρωσεν, ἤτοι τέλειον ἀπειργάσατο τὸν νόμον δέον εἰπεῖν. Εἰ γὰρ ἐπλήρωσε, πάντως τῇ προσθήκῃ ἐπλήρωσεν. Ἐπλήρωσεν μὲν οὖν οὕτως· ὁ νόμος τὴν πρᾶξιν μόνον τῶν αἰσχίστων καὶ κακῶν ἔργων καὶ λόγων ἐκώλυεν, αὐτὸς δὲ καὶ τὴν αἰτίαν καὶ ῥίζαν ἐκκόπτει τῶν κακῶν ἐν τῷ λέγειν ὁ νόμος τάδε φησίν, ἐγὼ δὲ τάδε· ἤτοι ὁ νόμος φησὶν οὐ φονεύσεις, ἐγὼ δὲ μηδὲ ὀργισθῆναι ὅλως φημί, ἀλλ' αὐτὸς τὸ φαινόμενον ὁρῶν καὶ οὐ νοῶν τὸ κρυπτόμενον. Πάντως ἔχεις εἰπεῖν ὅτι ἰσχυροτέρα καὶ μείζων ἐντολή ἐστι τὸ μὴ φονεύειν τοῦ μὴ ὀργίζεσθαι. Ἐγὼ δὲ οὐχ οὕτως, ἀλλὰ τὸ ἔμπαλιν· ἐπεὶ ὁ μὴ φονεύων ὀργιζόμενος δὲ πάντως ἐὰν μὴ εἰς τὸν φόνον ἐμπέσῃ τὴν
f 254r σήμερον καὶ || τὴν αὔριον κρατῶν ὡς εἰκὸς τοῦ θυμοῦ, ἀλλ' οὖν ὁ θυμὸς καθ' ἡμέραν ἐπὶ πλέον ἀναπτόμενος καὶ ἔξω φρενῶν τὸν ὀργι-

[3]) Ματθ. 3,15 [5]) Ματθ. 5,20. ἐν τῇ ᾤᾳ : πλείω τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. [14]) Πράξ. 1,1
[15] Ἱερ. 38,39.

Ε.Υ.Σ. ΤΦΚ τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ζόμενον ἀδοκήτως ἔστιν ὅτε ἑλκύσας εἰς τὸν φόνον κατήγαγεν. Ὁ δὲ μὴ ὀργιζόμενος οὐδέποτε εἰς φόνον πεσεῖται. Τίς γὰρ εἶδέ ποτε τὸν ἐν πραότητι καὶ γαλήνῃ φονεύοντα; Καὶ γάρ, ὡς ἔφημεν, ἡ ὀργὴ προλαμβάνει τοῦ φόνου. Οὕτως οὖν καὶ ἐπὶ τῶν λοιπῶν. Τίς σύνοιδε πορνεύσαντα εἰ μὴ τῷ τῆς ἐπιθυμίας βέλει ἐτρώθη πρότερον; Αὕτη γὰρ εἰς τὸν βόθυνον τοῦτον κατασπᾷ τὸν ταύτην κτησάμενον. Ὅθεν ἔστιν ἰδεῖν πολλοὺς μὲν ἐπιθυμοῦντας, ἐπεὶ δὲ ἔχουσιν ἢ τὸν τόπον ἢ τὴν τῶν ἑτέρων γνώμην ἀντιβαίνοντα δοκοῦσι μὲν ἠρεμεῖν, ἐπὰν δὲ ἄδειαν ἔξωσι καί εὐχέρειαν, καὶ τὸ τέλος ἡ αὐτῶν ἐπιθυμία λαμβάνει ἤτοι εἰς αὐτὴν τὴν πρᾶξιν καταντᾷ. Τίς δὲ εἶδε τὸν ἐλεήμονα καὶ τῶν αὐτοῦ παραχωροῦντα ἑτέροις αὐτὸν ἀδικεῖν; Ὁ γὰρ τὰ ἄλλων ἁρπάζων πολλῷ μᾶλλον τὰ ἴδια οὐ παραχωρήσει ἑτέροις· ὁ δὲ τὰ αὐτοῦ παραχωρῶν τοῖς βουλομένοις καὶ διανέμων τοῖς δεομένοις, δῆλον ὅτι οὐδὲ ἀδικεῖν ἀνέξεται· ὁ δὲ μὴ ἀδικῶν μηδ' ἐλεῶν ὅλως ἐν μεθορίῳ ἐστὶ καὶ πάντως ἢ ἄδικος ἢ ἐλεήμων || ἀποβήσεται. Οὕτως οὖν καὶ ὁ ὀμνύων εἰ καὶ ἀληθῶς, ἀλλ' ἔστιν ὅτε καὶ ἐπιορκεῖ μὴ βουλόμενος, ὑπὸ τῆς f 254v
συνηθείας τοῦ ὀμνύειν συρόμενος. Καὶ ταῦτα μὲν περὶ τῶν πρακτέων ἐντολῶν. Δεῖ δὲ λοιπὸν καὶ περὶ τῶν λοιπῶν νομίμων δικαιωμάτων τινὰ διελθεῖν, ἵνα γνῶμεν ὅση διαφορὰ μέσον νόμου καὶ χάριτος. Καὶ περὶ μέν τῆς παλαιᾶς καὶ ἀλόγου θυσίας φησὶν Ἡσαΐας. «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. Τίς γὰρ ταῦτα ἐξεζήτησεν ἐκ τῆς χειρὸς ὑμῶν;» Καὶ ὁ Δαυίδ, «οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους· ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ δρυμοῦ». Οὐ γὰρ ὥς τι καταθύμιον τῷ Θεῷ τὸ πάλαι αἱ θυσίαι ἐνενομοθέτηντο, ἀλλὰ διὰ τὴν ἀτελῆ τῶν Ἰουδαίων διάθεσιν. Περὶ δὲ τῆς λογικῆς καὶ παρ' ἡμῶν τελουμένης νῦν θυσίας ἐν πνεύματι καὶ ἀληθείᾳ φησὶν ὁ Χριστός. «Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ || φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε f 255r
αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς» καὶ τὰ ἑξῆς. Περὶ δὲ ἀμφοτέρων τῶν θυσιῶν αὖθις ἡ θεόφθογγος ᾄδει τοῦ Δαυῒδ λύρα· «μὴ φάγομαι κρέα ταύρων ἢ αἷμα τράγων πίομαι; Θῦσον τῷ Θεῷ θυσίαν

[20]) Ἡσ. 1,11 [23]) Ψαλμ. 49,10 [28]) Ἰωάν. 6, 51—53. [34]) Ψαλμ. 49,10

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

αἰνέσεως». Καὶ ἐν ἑτέρῳ· «θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας, τότε εἶπον, ἰδοὺ ἥκω». Ὡσαύτως καὶ Μαλαχίας φησί· «οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν· διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι. καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά». Περὶ ὧν καὶ Παῦλος διαφόρως γράφει. Περὶ δὲ περιτομῆς σαρκὸς καὶ περιτομῆς καρδίας ἐν πνεύματι οὐ γράμματι, ἥτις ἔστι τὸ βάπτισμα, ὅτι ἡ μὲν σαρκός ἐστιν ἀπόθεσις ἡ δὲ ἁμαρτιῶν κατὰ τὰς Γραφάς, ἀρκούντως μοι δοκεῖ λελέχθαι ἐν τοῖς προλαβοῦσι. Περὶ δὲ τοῦ Πάσχα φαμέν, ὅτι εἰς ὑπόμνησιν ἐτελεῖτο τῆς ἐξ Αἰγύπτου ἐλευθερίας καὶ τύπον τοῦ μέλλοντος. «Καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός». Ὡσαύτως δὲ καὶ τὰ ἄλλα παρατηρήματα, ἵνα μὴ καθ' ἕκαστον λέγοντες τὸν λόγον μηκύνωμεν, δι' ἄλλο τι ἕκαστον ἀναλόγως ἐτελεῖτο, ἃ καὶ πέπαυται ἐν Χριστῷ. Ἀλλ' οὐδὲ πέπαυται, οὐκ ἦλθον γάρ φησι καταλῦ-
f 25v σαι τὸν νόμον, μᾶλλον δὲ τετελείωνται, ὡς εἴρηται. Δοκεῖ δέ πως πεπαῦσθαι διὰ τὴν ἐναλλαγὴν τοῦ ἀτελοῦς πρὸς τὸ || τέλειον. Ὥσπερ γὰρ ὃν πέρ ποτε εἴδομεν νήπιον, νῦν ἐξαίφνης ὁρῶντες ἄνδρα γενόμενον ἀγνοοῦμεν, οὐχ ὅτι οὐκ ἔστιν αὐτὸς ἐκεῖνος, ἀλλ' ὅτι τῆς τελειότητος ἐλθούσης παρήλλακται ὁ χαρακτήρ, οὕτω κἀνταῦθα, ἀτελοῦς ὄντος τοῦ νόμου ποτέ, νῦν δὲ τελειωθέντος καὶ ἐπὶ τὸ πνευματικώτερον μετασκευασθέντος καὶ μεταρρυθμισθέντος, ἀγνοῦσι τινὲς διὰ τὴν ἐναλλαγὴν τῆς ποιότητος, καθ' ἅ φησιν ὁ Ἀπόστολος Κορινθίοις ἐπιστέλλων. «Ὅτε ἤμην νήπιος ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην, ὅτε δὲ γέγονα ἀνὴρ κατήργηκα τὰ τοῦ νηπίου», τὰς διαθέσεις δῆλα δή. Ἀλλ' οὕτω μὲν ὁ Χριστὸς τὸν νόμον τέλειον ἐξ ἀτελοῦς κατέστησεν. Εἰ δέ τις ἐνίσταται λέγων, ἐπεὶ ἡ τελειότης ἐπεισῆλθεν, ἤτοι τὸ Εὐαγγέλιον, καὶ καθ' αὐτὸν ὁ νόμος οὐδὲν ὠφελεῖ, περιττὴ λοιπὸν ὅλως ἡ τούτου χρῆσις, καὶ πρὸς τοῦτο ἀπολογούμεθα.

[1]) Ψαλμ. 39,9 [3]) Μαλ. 1,10—11. [13]) Α' Κορ. 5,8 [16]) Ματθ. 5,17.
[21]) Α' Κορ. 13,11 [30]) ἐν τῇ ῴᾳ : περιττὴν δὲ διόλου κρίνει ὁ ἀπεναντίας τὴν τοῦ νόμου χρῆσιν, ἤτοι μήτε μεταγράφειν τοῦτον δεῖν, μήτε ἀναγινώσκειν, ὅπερ οὐ προσιέμεθα ὡς ἐπισφαλές.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὅτι ὥσπερ ὁ νόμος καθ᾽ αὑτὸν οὐδὲν ὠφελεῖ, οὕτω καὶ τὸ Εὐαγγέλιον, εἰ καὶ τολμηρὸν εἰπεῖν, εἰ καὶ τέλειον ἀλλ᾽ οὖν ἀσύστατον καθ᾽ αὑτό· τὰς γὰρ ἁπάσας μαρτυρίας ἐκ τοῦ νόμου κέκτηται. Ἓν γὰρ τοῦτο κἀκεῖνο καὶ πρὸς ἓν ἀφορᾷ· ἐπεὶ καὶ εἷς ἔστιν ὁ τούτων πάροχος, ‖ ὁ f 256r Κύριος δῆλα δή. Προέδραμε δὲ θάτερον θατέρου, ὥσπερ ἡ σκιὰ προστρέχει τῆς εἰκόνος καὶ ὁ θεμέλιος τῆς στέγης καὶ οἱ τύποι τῆς ἀληθείας· ἄλλως τε τοῦ ἀτελοῦς μὴ παρόντος, τὸ τέλειον οὐ γνωρίζεται, τῶν δύο δὲ προκειμένων, τὸ τέλειον ἐκ τοῦ ἀτελοῦς συγκρίνοντες διορίζομεν. Διὰ τοῦτο ἀναγκαῖον καὶ πάνυ ἁρμόδιον ἀμφοτέρας κεκτῆσθαι τὰς διαθήκας. Τὸ δὲ τὴν μὲν αὐτῶν κατέχειν τὴν δὲ ἀποστρέφεσθαι, πάνυ ἐπικίνδυνον καὶ οἱ οὕτω κρατοῦντες πίπτουσιν εὐχερῶς. Εἰ δ᾽ αὖθις τις ὡσπερεὶ διαπορούμενος ἔροιτο, πῶς οὐκ εὐθὺς μετὰ τὴν παράβασιν τῶν προγόνων ἐδέδοτο ὁ νόμος ἀλλὰ χρόνων τοσούτων παρῳχηκότων, ἀντερωτάσθω πῶς καὶ πρὸ τῆς παραβάσεως δοθεὶς οὐ τετήρηται, ἀλλὰ τῆς παραβάσεως μᾶλλον πρόφασις γέγονεν. Εἰ δὲ καὶ ἐν τούτῳ διαπορεῖ, μηκέτι τῆς τοῦ Θεοῦ κρίμασιν ἀντιπιπτέτω λοιπόν, ἀλλὰ μᾶλλον θαυμαζέτω τὴν αὐτοῦ ἄρρητον καὶ σοφὴν οἰκονομίαν καὶ πῶς ἐχθροὶ ὄντες κατηλλάγημεν αὐτῷ.

---

5) ἐν τῇ φᾳ : καὶ ἄλλως, ὥσπερ τις κώμη μικρὰ μὲν καὶ ἀτείχιστος οὖσα, ταπεινοὺς καὶ τοὺς νόμους κέκτηται, αὐξηθεῖσα δὲ καὶ τειχισθεῖσα καὶ πλείονας τοὺς φόρους ἀποδιδοῦσα μεῖζον δεῖται τοῦ νόμου καὶ τῆς ἐπιστασίας καὶ οὐδεὶς ἂν εἴη ὁ ἀντιλέγων τοῖς ὕστερον ἐκτεθεῖσι νόμοις ὡς ἀναξίοις τῇ τε πολιτείᾳ καὶ τῷ νομοθέτῃ, εἰ μὴ προφανῶς μέμηνε καὶ τὴν ἐκ τοῦ βασιλέως ἀγανάκτησιν ἐπισπάσασθαι βούλεσθαι, οὕτω δεῖ νοεῖν καὶ ἐπ᾽ ἀμφοτέρων τῶν νόμων, τοῦ τε παλαιοῦ καὶ τοῦ νέου, ὅτι ἑνὸς ὄντος τοῦ δοτῆρος, εἰς ἓν ἀφορῶσι, τὴν τῶν ἀνθρώπων σωτηρίαν, ὁ δὲ μεμφόμενος τούτοις ὡς ἐναντίοις, τῷ νομοθέτῃ Θεῷ μέμφεται.